καὶ κάθυγρος ὁ τόπος. Σ. ἐμπὶς δὲ, κώνωψ, ἢ εἶδος ζώου περὶ τοῖς ὕδασι γινόμενον, ὅμοιον κώνωπι, μεῖζον δέ. Ἡσύχιος. Τρικόρυνθον δὲ, οὐδετέρως Δίδυμος, καὶ Διόδωρος Διονύσιος ἀρσενικῶς. Εὐφορίων θηλυκῶς. ἔστι δὲ δῆμος τῆς Αἰαντίδος φυλῆς. ὁ δημότης Τρικορύσιος, καὶ θηλυκὸν Τρικορυσία. Ταῦθ᾽ ὁ Στέφανος ἐν τῷ περὶ πόλεων. καὶ αὐτὸς, ἄνευ τοῦ ν ἀλλαχοῦ Τρικόρυθον καλεῖ, οὕτω γράφων, Τετράπολις, τῆς Ἀττικῆς, ἔχουσα δήμους, καὶ πόλεις τέτταρας, Οἰνόην, Προβάλινθον, Τρικόρυθον, Μαραθῶνα. Ὤνησας] ὠφέλησας. ὀνάω, ὀνῶ, ὄνημι, ὀνήσω, ὅθεν τὸ ὄναο, ὠφελῶ. ἀόρ. α, ὤνησα, ὠφέλησα. ἐφρεωρύχει δὲ, ἀντὶ τοῦ τοὺς ὀφθαλμοὺς ὡς φρέαρ ὤρυσσε. φρεωρυχεῖν γὰρ, τὸ φρέαρ ὀρύσσειν. ἐπεὶ ἐξῃρέθη. ἐπεὶ ἐξῃρέθη. ἀποψήσω δὲ, παρὰ τὸ ἀποψᾶν, ὅ ἐστιν ἀπομάσσειν. Μὴ ὥρασιν ἵκοισθε] εἶδός τι κατάρας ἀρχαϊκῶς ταῦτα γεγενῆσθαι φαίνεται, ᾧ καὶ πολλάκις ὁ Λουκιανὸς ἐχρήσατο. ὡς ἐν τῷ Ἥρας καὶ Διὸς διαλόγῳ, ὅταν εἶπεν, Ἄπαγε. μὴ ὥρασιν ἵκοιτο τῆς ὑπὲρ αὐτοῦ ἐπιθυμίας καὶ πάλιν ἐν τῷ περὶ ὀρχήσεως, Μὴ ὥρασιν ἱκοίμην. ἔτι τοιοῦτον ἀνασχοίμην. καὶ αὖθις ἐν τοῖς Ἑταιρικοῖς, Μὴ ὥρασιν ἵκοιτο ὁ λῆρος ἐκεῖνος, τοιαῦτα παιδεύων τὸ μειράκιον. παραπλήσιον δὲ, καὶ τόδε τὸ Ἀριστοφάνειον διεφθαρμένως νῦν ἐν ἄλλοις ἀντιγράφοις γράφεται Μὴ ὥρας ἵκοισθε. ταῦτα δὲ, οὐ σπουδῇ, καὶ θυμωδῶς νῦν λέγεσθαι νοητέον ἐστὶν, ἀλλὰ χαριέντως, τῶν γερόντων ἤδη εἰρηνευομένων, καὶ ταῖς γυναιξὶν εὐμενισθέντων. Θωπικαὶ] κολακευτικαί. θώψ, θωπὸς, ὁ κόλαξ. ὁ μετὰ θαυμασμοῦ ἐγκωμιαστής. ὅθεν θωπεία, κολακεία. καὶ τὸ ῥῆμα θωπεύω, κολακεύω. Κἄστ᾽ ἐκεῖνο τοὔπος.] τὸ πλῆρες, καὶ ἔστιν ἐκεῖνο τὸ ἔπος. Ξὺν πανωλέθροισιν.] ταῦτα διεσταλμένως γραπτέον, διὰ τοῦ ω μεγάλου. ἀμφότερα γὰρ ἐν χρήσει πανόλεθρος, καὶ πανώλεθρος τὴν ὑστέραν γραφὴν τὸ τροχαϊκὸν μέτρον ἐνταῦθα ἀπαιτεῖ. τὸ δὲ πανώλεθρος, ὡς τὸ παναώλης ὅθεν πανωλεθρία, καὶ πανολεθρία, καὶ πανώλεια, καὶ πανωλία. ταῦτα δὲ παροιμιακῶς λέγεται, ὡς τὸ

> Κακὸν γυναῖκες, ἀλλ᾽ ὅμως ὦ δημόται,
> Οὐκ ἔστιν εὑρεῖν οἰκίαν ἄνευ κακοῦ. Σ.

Σπένδομαι] σπένδειν, καὶ σπένδεσθαι κυρίως θύειν, θυσιάζεσθαι καὶ σπένδομαι, ἀντὶ τοῦ συντίθεμαι, συναλλάττω. ἐπὶ φιλίᾳ γὰρ σπένδεσθαι, καὶ λείβεσθαι εἰώθασι. καὶ σπένδοντας, θύοντας, προσφέροντας τὰ περὶ τὴν σπονδὴν, καὶ τὸ φιλιοῦσθαι. οὕτω γὰρ ἐκάλουν τὰς ἐπὶ τῶν πολεμίων συμβάσεις, καὶ σπονδὰς ἐνόρκους. Σ. σπένδειν δὲ ἐκ τοῦ σπείδειν παρῆκται τροπῇ τοῦ ι εἰς ν κατὰ γλῶσσαν Ἀργείων, καὶ Κρητῶν. Εὐστάθιος. Φλαῦρον.] φλαῦρον Ἀττικῶς. φαῦλον δὲ κοινῶς. κοῦφον κακόν. διαφέρει δὲ ὅμως φλαῦρον, καὶ φαῦλον. φλαῦρον μὲν γάρ ἐστι, τὸ μικρὸν κακόν. φαῦλον δὲ, τὸ μέγα. Σ. Οὐ παρεσκευαζόμεθα.] ὁ τῶν γυναικῶν χορὸς ἤδη πρὸς τοὺς ἄνδρας διαλλαγεὶς ταῦτα λέγει, πολλὰς θεραπείας. καὶ φιλανθρωπίας αὐτοῖς ὑπισχνούμενος. ὦνδρες, ἀντὶ τοῦ ὦ ἄνδρες. οἱ δὲ ἑξῆς στιχίδιοι μικτοὶ λα. Πόλλ᾽ ἔσω᾽στιν.] πολλὰ ἔσω, εἴτε ἔνδον ἐστίν. βαλάντια τα. βαλάντιον, μάρσυπος. Σ. ἀλλαχοῦ δὲ, βαλλάντιον, τὸ ἀκόντιον, διὰ τὸ βάλλειν τοὺς ἐναντίους. Ετυμ. μέγα.

CHR. Τρικορυσία.] Populus est Æantidis tribus Tricorynthon teste Stephano qui hunc Comici nostri disertè locum laudat, est autem ἀλσώδης & κάθυγρος τόπος vbi multæ sunt ἐμπίδες. Didymus in fœminino genere effert, Dionysius masculino, Euphorion neutro. Strabo lib. 9. τρικόρυθον vocat. Ἐφρεωρύχει.] Hic pro fodere simpliciter vsurpatur, quod videntur facere bestiolæ illæ quæ vacuas aures ingrediuntur, quas auriscalpas vocare possumus, Nos Idiomate Gallico dicimus *Persoreilles*. Fuit tamen gens Athenis τῶν φρεωρύχων vt notant Grammatici. Καί τοί γε πάνυ.] Dele illud γε vt noxium mensuræ pedum. Quod autem ait ὥρας ἵκοισθ᾽, puto esse ταχέως vt in Vespis ἡμῖν ἐφεῖτ᾽ ἐν ὥρᾳ. Mox cùm ait τοὔμπαλιν, est ἀνάπαλιν & τὸ ἐναντίον. Ἀλλ᾽ ἐπαγγελλέτω.] Id est, αἰτείτω, ἐπιταττέτω, κελευέτω. Ὡς πόλλ᾽ ἐστῶσιν] Malè vt puto in Veneta editione legitur ἐστῶσιν. Rectum enim ἔσω᾽στιν intus sunt, Paulò pòst pro τεθυκί᾽ ὥστε, malim τέθυχ᾽ vt in eadem Veneta editione pro τέθυκα. Sed & πρωὶ quod sequitur vnica syllaba metiendum puto, & pro μηδ᾽ ἔρχεσθαι, legendum μηδ᾽ ἔρεσθαι vt habent Veneta exemplaria. γυναικῶς autem est ἰσχυρᾶς & γενναίως.

| | |
|---|---|
| Ὅστις ἂν νυνὶ δανείσηται | *Fœnerator quisquis à nobis* |
| Παρ᾽ ἡμῶν ἂν λάβῃ | *Habebit, reddere* |
| Μηκέτ᾽ ἀποδιδῶ. | *Insuper habeat.* |
| Ἑστιᾶν δὲ μέλλομεν ξένους τινὰς Καρυστίους | *Quin & inuitamus ad cœnam hospites Carystios* |
| Ἄνδρας καλούς τε κἀγαθούς. | *Frugi catos bonos viros.* |
| Κἄστιν ἔτνος τι. καὶ | *Pultem habemus, & sacres* |
| Δελφάκιον ἦν τί μοι | *Porculus adest mihi* |
| Καὶ τοῦτο τέθυχ᾽ ὥστε τὰ κρέα | *Mactatus: ita habebitis bona* |
| Ἔδεσθ᾽ ἁπαλὰ καὶ καλά. | *Et mollicula carnium.* |
| Ἥκετ᾽ οὖν εἰς ἐμοῦ | *Ergo adeste huc mihi.* |
| Τήμερον. πρωῒ δὲ χρὴ | *Hoc die, mane agant,* |
| Τοῦτο δρᾶν λελουμένους, | *Hoc idem qui lauerint* |
| Αὐτούς τε καὶ τὰ παιδί᾽. εἶ- | *Ipsis simul puellulis.* |
| τα ἔσω βαδίζειν. | *Veniant & intus,* |
| Μηδ᾽ ἔρεσθαι μηδ᾽ ἕνα | *Nec rogassint quempiam,* |
| Ἀλλὰ χωρεῖν ἄντικρυς | *Sed palam incedant, velut* |
| Ὥσπερ οἴκαδ᾽ εἰς | *In suam domum* |
| Ἑαυτῶν γεννικῶς. | *Solent prognariter.* |
| Ἴσως δ᾽ ἡ θύρα κεκλείσεται. | *Sic vobis aperta erit foris.* |